expoſitum diu reſeruari integrum poteſt? An propterea quia humor alienus vnà cum calore euaneſcit, vt in viuis fieri nouimus: alia enim frigore, alia calore exhalant. 3 Cur potius in frigidiſſimis terris ardores febrium fiant? An quòd frigus calorem intus circumobſiſtit: cuius rei contrarium æſtiuo tempore agitur. Partes nanque internæ frigidiores redduntur: ardor autem febris eſt: ergo partibus refrigeratis exterioribus, caloris copia interiores redundant. 4 Cur blæſis pedibus Æthiopes ſunt, & Ægyptij? An quemadmodum ligna, ita etiam corpora animantium deprauari à calore ſolent. Quod etiam pili declarant, quos criſpiores, quàm cæteri, gerunt: criſpitudo nanque, veluti pilorum blæſitas eſt. 5 Cur temporibus Auſtrinis initus fœminam potius generat? An quòd largior humor tardius craſſeſcit: Auſtrinis autem humor temperamenti facit, vt ſemen reddatur humidius. 6 Cur locis paluſtribus vlcera capitis curari celeriter poſſunt, crurium autem tardè? An quòd humor eſt grauis, quia terrenus eſt: omne autem graue tendit deorſum: ergo vlcera ſuperiora concoctioni ſunt opportuniora, quoniam humor delapſus ad ima eſt: inferiora autem ipſa multo excremento, putrefactúque facili redundant. 7 Cur qui loca edita, apertáque colunt, tardius ſeneſcunt: qui autem caua, & paluſtria ocyus? An ſenectus quædam putredo eſt: putret autem, quod quieſcit: nullo modo, aut minus ita afficitur, quod mouetur, vt aqua profluens, & concluſa: igitur vt locis editis aer vndique afflante ſpiritu agitatur, ita cauis manet immotus. Adhæc, locis apertis purus ac diuerſus aſſiduè propter agitationem aer habetur, paluſtribus impurus, idémque ſemper emarceſcit.

8 Cur timidi ſunt, qui loca feruida incolunt, fortes, qui gelida? An quòd natura contrà, quàm loca & tempora ſe habet, quoniam ſi ſe ſimilem ageret, citò periret. Sunt autem fortes, qui calida ſunt natura: timidi, qui exangues, refrigeratíque ſunt. Fit igitur, vt qui loca inhabitant calida, refrigerentur: qui frigida, concaleſcant. Vtrique tamen corpore magno adoleſcunt, eò quòd qui frigida colunt, inſito calore abundant: qui calida, calore loci refouentur: quippe cùm in calidis & à calore incrementum ſequatur: frigus autem vim adſtringendi, cõſtipandíque habeat.

A πολλὰ ἔτη γίνεται ἄκοπος; ἢ ὅτι ἐξικμάζεται
τὸ ἀλλότριον ὑγρὸν μετὰ τοῦ θερμοῦ, ὥσπερ
ἐν ταῖς σταφυλαῖς; ἔνια μὲν γὰρ, ὑπὸ τοῦ ψυχροῦ·
ἔνια δὲ, ἅμα τῷ θερμῷ. γ Διὰ τί ἐν
τῇ ψυχροτάτῃ χώρᾳ οἱ καῦσοι μᾶλλον γίνονται;
ἢ διότι ἀντιπεριΐστησι τὸ ψῦχος εἴσω
τὴν θερμότητα; ἐν δὲ τῷ θέρει τοὐναντίον
συμβαίνει, τὰ εἴσω ψυχρότερα. ὁ δὲ
B καῦσος, πυρετὸς [ὢν] τῶν ἔξω κατεψυγμένων,
τὰ ἔσω θερμότητι ὑπερβάλλει.
δ Διὰ τί οἱ Αἰθίοπες καὶ οἱ Αἰγύπτιοι,
βλαισοί εἰσιν; ἢ διότι ὑπὸ θερμοῦ, ὥσπερ καὶ
τὰ ξύλα διαστρέφεται ξηραινόμενα, οὕτω καὶ
τὰ τῶν ζώων σώματα; δηλοῦσι δὲ καὶ αἱ τρίχες·
οὐλοτέρας γὰρ ἔχουσιν· ἡ δὲ οὐλότης ἐστὶν, ὥσπερ
βλαισότης τῶν τριχῶν. ε Διὰ τί ἐν τοῖς νοτίοις
μᾶλλον θηλυτοκοῦσιν αἱ ὀχεῖαι; ἢ ὅτι τὸ
C πλεῖον ὑγρὸν βραδύτερα παχύνεται; ἐν δὲ
τοῖς νοτίοις, διὰ τὴν ὑγρότητα τῆς κράσεως,
ὑγρότερον τὸ σπέρμα γίνεται. ϛ Διὰ τί ἐν
τοῖς ἑλώδεσι, τὰ μὲν ἐν τῇ κεφαλῇ ἕλκη ταχὺ
ὑγιάζεται· τὰ δὲ ἐν ταῖς κνήμαις, μόλις; ἢ
ὅτι βαρεῖα ἡ ὑγρότης, διὰ τὸ γεώδης εἶναι· τὰ δὲ
βαρέα, εἰς τὸ κάτω ὑποχωρεῖ; τὰ μὲν οὖν ἄνω,
εὔπεπτα, διὰ τὸ ὑποκεχωρηκέναι κάτω·
D τὰ δὲ κάτω, πολλῆς γέμει τῆς περιττώσεως καὶ
εὐσήπτου. ζ Διὰ τί οἱ μὲν ἐν τοῖς εὐπνόοις τόποις,
βραδέως γηράσκουσιν· οἱ δὲ ἐν τοῖς κοίλοις
καὶ ἑλώδεσι, ταχέως; ἢ τὸ γῆρας σηπεδών
τίς ἐστι; σήπεται δὲ τὸ ἠρεμοῦν. τὸ δὲ ἐν
κινήσει ὂν, ἢ ὅλως ἄσηπτες, ἢ ἧττον τοῦτο πάσχει,
οἷον τὸ ὕδωρ. ἐν μὲν οὖν τοῖς ὑψηλοῖς, διὰ
τὴν εὔπνοιαν, ὁ ἀὴρ ἐν κινήσει ἐστίν· ἐν δὲ τοῖς
E κοίλοις, μένει. ἔτι δὲ, ἐκεῖ μὲν, διὰ τὴν κίνησιν
ἀεὶ καθαρὸς ὁ ἀὴρ, καὶ ἕτερος γίνεται· ἐν δὲ
τοῖς ἑλώδεσι, μένει. η Διὰ τί οἱ μὲν ἐν τοῖς
θερμοῖς τόποις; δειλοί εἰσιν. ἐν δὲ τοῖς ψυχροῖς,
ἀνδρεῖοι; ἢ ὅτι ἐναντίως τοῖς τόποις καὶ
ταῖς ὥραις ἡ φύσις ἔχει, διὰ τὸ ὁμοίως ἐχόντων,
ἀνάγκη διακαίεσθαι ταχέως. ἀνδρεῖοι δέ
εἰσιν, οἱ τὴν φύσιν θερμοί· δειλοὶ δὲ, οἱ κατεψυγμένοι.
συμβαίνει δὲ τοὺς μὲν ἐν τοῖς θερ-
F μοῖς ὄντας, κατεψύχθαι· τοὺς δὲ ἐν τοῖς ψυχροῖς,
ἐκτεθερμάνθαι τὴν φύσιν. μεγάλοι
δὲ ἄμφω εἰσίν· οἱ μὲν ἐν τοῖς ψυχροῖς,
διὰ τὴν ἐν αὐτοῖς σύμφυτον θερμότητα·
ἐν δὲ τοῖς θερμοῖς, διὰ τὴν ἐν τῷ τόπῳ.
ἐν γὰρ τοῖς θερμοῖς καὶ ὑπὸ τοῦ θερμοῦ αὐξάνονται. τὸ δὲ ψῦχος, πιλητικόν ἐστιν. ἅτε οὖν

τῶν μὲν,